[22]καὶ ἐὰν γένηται τῷ Βεωρ νεοσσιὰ πανουργίας, 22
Ἀσσύριοί σε αἰχμαλωτεύσουσιν.
[23]καὶ ἰδὼν τὸν Ωγ καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ εἶπεν 23
Ὢ ὤ, τίς ζήσεται, ὅταν θῇ ταῦτα ὁ θεός;
[24]καὶ ἐξελεύσεται ἐκ χειρὸς Κιτιαίων 24
καὶ κακώσουσιν Ασσουρ καὶ κακώσουσιν Εβραίους,
καὶ αὐτοὶ ὁμοθυμαδὸν ἀπολοῦνται.
[25]καὶ ἀναστὰς Βαλααμ ἀπῆλθεν ἀποστραφεὶς εἰς τὸν τόπον αὐτοῦ, 25
καὶ Βαλακ ἀπῆλθεν πρὸς ἑαυτόν.
[1]Καὶ κατέλυσεν Ισραηλ ἐν Σαττιν· καὶ ἐβεβηλώθη ὁ λαὸς ἐκπορ- 25
νεῦσαι εἰς τὰς θυγατέρας Μωαβ. [2]καὶ ἐκάλεσαν αὐτοὺς ἐπὶ ταῖς θυ- 2
σίαις τῶν εἰδώλων αὐτῶν, καὶ ἔφαγεν ὁ λαὸς τῶν θυσιῶν αὐτῶν καὶ
προσεκύνησαν τοῖς εἰδώλοις αὐτῶν. [3]καὶ ἐτελέσθη Ισραηλ τῷ Βεελ- 3
φεγωρ· καὶ ὠργίσθη θυμῷ κύριος τῷ Ισραηλ. [4]καὶ εἶπεν κύριος τῷ 4
Μωυσῇ Λαβὲ πάντας τοὺς ἀρχηγοὺς τοῦ λαοῦ καὶ παραδειγμάτισον
αὐτοὺς κυρίῳ ἀπέναντι τοῦ ἡλίου, καὶ ἀποστραφήσεται ὀργὴ θυμοῦ
κυρίου ἀπὸ Ισραηλ. [5]καὶ εἶπεν Μωυσῆς ταῖς φυλαῖς Ισραηλ Ἀποκτεί- 5
νατε ἕκαστος τὸν οἰκεῖον αὐτοῦ τὸν τετελεσμένον τῷ Βεελφεγωρ.
[6]Καὶ ἰδοὺ ἄνθρωπος τῶν υἱῶν Ισραηλ ἐλθὼν προσήγαγεν τὸν 6
ἀδελφὸν αὐτοῦ πρὸς τὴν Μαδιανῖτιν ἐναντίον Μωυσῆ καὶ ἔναντι
πάσης συναγωγῆς υἱῶν Ισραηλ, αὐτοὶ δὲ ἔκλαιον παρὰ τὴν θύραν
τῆς σκηνῆς τοῦ μαρτυρίου. [7]καὶ ἰδὼν Φινεες υἱὸς Ελεαζαρ υἱοῦ 7
Ααρων τοῦ ἱερέως ἐξανέστη ἐκ μέσου τῆς συναγωγῆς καὶ λαβὼν
σειρομάστην ἐν τῇ χειρὶ [8]εἰσῆλθεν ὀπίσω τοῦ ἀνθρώπου τοῦ Ισραη- 8
λίτου εἰς τὴν κάμινον καὶ ἀπεκέντησεν ἀμφοτέρους, τόν τε ἄνθρω-
πον τὸν Ισραηλίτην καὶ τὴν γυναῖκα διὰ τῆς μήτρας αὐτῆς· καὶ
ἐπαύσατο ἡ πληγὴ ἀπὸ υἱῶν Ισραηλ. [9]καὶ ἐγένοντο οἱ τεθνηκότες 9
ἐν τῇ πληγῇ τέσσαρες καὶ εἴκοσι χιλιάδες.
[10]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [11]Φινεες υἱὸς Ελε- 10 11
αζαρ υἱοῦ Ααρων τοῦ ἱερέως κατέπαυσεν τὸν θυμόν μου ἀπὸ υἱῶν
Ισραηλ ἐν τῷ ζηλῶσαί μου τὸν ζῆλον ἐν αὐτοῖς, καὶ οὐκ ἐξαν-
ήλωσα τοὺς υἱοὺς Ισραηλ ἐν τῷ ζήλῳ μου. [12]οὕτως εἰπόν Ἰδοὺ 12
ἐγὼ δίδωμι αὐτῷ διαθήκην εἰρήνης, [13]καὶ ἔσται αὐτῷ καὶ τῷ σπέρ- 13
ματι αὐτοῦ μετ᾽ αὐτὸν διαθήκη ἱερατείας αἰωνία, ἀνθ᾽ ὧν ἐζήλωσεν
τῷ θεῷ αὐτοῦ καὶ ἐξιλάσατο περὶ τῶν υἱῶν Ισραηλ. [14]τὸ δὲ ὄνομα 14

22 ασσυριοι] συριοι B*† | σε αιχμ.] tr. A || 23 θη] ελθη B*† || 24 χειρων ABc | κητιαιων A

25 2 επι ταις θυσιαις] εις τας -σιας A | προσεκυνησεν A || 3 ετελεσθη ισραηλ] ετελεσθησαν A || 4 τω μωυση] προς -σην A | παντας > A | κυριω] pr. τω A (in *O* sub ※) | κατεναντι A | ηλιου] λαου A† | θυμου > B*† || 6 εναντιον] -τι A | εναντι] -τιον ABc || 7 υιου] υιος B†: item B*† in 11 || 8 υιων] pr. των A || 12 διαθηκην ειρηνης] ※ την ↙ διαθ. μου ειρηνης *O* (G tr. μου post ειρ.), την διαθ. μου διαθ. ειρηνης A || 13 αυτον] -του A